20 [20]οὐ κατοικηθήσεται εἰς τὸν αἰῶνα χρόνον, οὐδὲ μὴ εἰσέλθωσιν
εἰς αὐτὴν διὰ πολλῶν γενεῶν, οὐδὲ μὴ διέλθωσιν αὐτὴν Ἄραβες,
21 οὐδὲ ποιμένες οὐ μὴ ἀναπαύσωνται ἐν αὐτῇ· [21]καὶ ἀναπαύσονται
ἐκεῖ θηρία, καὶ ἐμπλησθήσονται αἱ οἰκίαι ἤχου, καὶ ἀναπαύσονται
22 ἐκεῖ σειρῆνες, καὶ δαιμόνια ἐκεῖ ὀρχήσονται, [22]καὶ ὀνοκένταυροι
ἐκεῖ κατοικήσουσιν, καὶ νοσσοποιήσουσιν ἐχῖνοι ἐν τοῖς οἴκοις
αὐτῶν· ταχὺ ἔρχεται καὶ οὐ χρονιεῖ.
14 [1]Καὶ ἐλεήσει κύριος τὸν Ιακωβ καὶ ἐκλέξεται ἔτι τὸν Ισραηλ,
καὶ ἀναπαύσονται ἐπὶ τῆς γῆς αὐτῶν, καὶ ὁ γιώρας προστεθήσεται
2 πρὸς αὐτοὺς καὶ προστεθήσεται πρὸς τὸν οἶκον Ιακωβ, [2]καὶ λήμ-
ψονται αὐτοὺς ἔθνη καὶ εἰσάξουσιν εἰς τὸν τόπον αὐτῶν, καὶ κατα-
κληρονομήσουσιν καὶ πληθυνθήσονται ἐπὶ τῆς γῆς τοῦ θεοῦ εἰς
δούλους καὶ δούλας· καὶ ἔσονται αἰχμάλωτοι οἱ αἰχμαλωτεύσαντες
αὐτούς, καὶ κυριευθήσονται οἱ κυριεύσαντες αὐτῶν.
3 [3]Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἀναπαύσει σε ὁ θεὸς ἐκ τῆς
ὀδύνης καὶ τοῦ θυμοῦ σου καὶ τῆς δουλείας σου τῆς σκληρᾶς, ἧς
4 ἐδούλευσας αὐτοῖς. [4]καὶ λήμψῃ τὸν θρῆνον τοῦτον ἐπὶ τὸν βασιλέα
Βαβυλῶνος καὶ ἐρεῖς ἐν τῇ ἡμέρᾳ ἐκείνῃ Πῶς ἀναπέπαυται ὁ
5 ἀπαιτῶν καὶ ἀναπέπαυται ὁ ἐπισπουδαστής; [5]συνέτριψεν ὁ θεὸς
6 τὸν ζυγὸν τῶν ἁμαρτωλῶν, τὸν ζυγὸν τῶν ἀρχόντων· [6]πατάξας
ἔθνος θυμῷ πληγῇ ἀνιάτῳ, παίων ἔθνος πληγὴν θυμοῦ, ἣ οὐκ
7 ἐφείσατο, [7]ἀνεπαύσατο πεποιθώς. πᾶσα ἡ γῆ βοᾷ μετ' εὐφροσύ-
8 νης, [8]καὶ τὰ ξύλα τοῦ Λιβάνου εὐφράνθησαν ἐπὶ σοὶ καὶ ἡ κέδρος
9 τοῦ Λιβάνου Ἀφ' οὗ σὺ κεκοίμησαι, οὐκ ἀνέβη ὁ κόπτων ἡμᾶς. [9]ὁ
ᾅδης κάτωθεν ἐπικράνθη συναντήσας σοι, συνηγέρθησάν σοι πάν-
τες οἱ γίγαντες οἱ ἄρξαντες τῆς γῆς οἱ ἐγείραντες ἐκ τῶν θρόνων
10 αὐτῶν πάντας βασιλεῖς ἐθνῶν. [10]πάντες ἀποκριθήσονται καὶ ἐροῦ-
σίν σοι Καὶ σὺ ἑάλως ὥσπερ καὶ ἡμεῖς, ἐν ἡμῖν δὲ κατελογίσθης.
11 [11]κατέβη δὲ εἰς ᾅδου ἡ δόξα σου, ἡ πολλή σου εὐφροσύνη· ὑπο-
κάτω σου στρώσουσιν σῆψιν, καὶ τὸ κατακάλυμμά σου σκώληξ.

**20** ουδε μη $1^0$] ουδ ου μη SQ: item $2^0$ S, cf. **8** 12 | διελθωσιν] εισελθ. εις S | αναπαυσωνται A*LC*] -σονται BSQ || **21** εμπλησθ.] εμ > A† | αι > A† | ορχηθησονται A || **22** fin.] + και αι(> *C*) ημεραι αυτης(*C*† -των) ου μη εφελκυσθωσιν *LC* (in *O* sub ※)

**14** 1 προς ult.] επι A† || **2** πληθυνθ.] + οικος ισραηλ S† | του θεου] > B, + αυτων S || **3** εν S*AQ] > B$S^c$*LC* | ο θεος] κυριος B*LC*: item in 5 | εκ AQ$S^c$] > S* 393†, απο B*LC* | οδυνης] + σου $S^c$*L* | και $3^0$ > B† | σου ult. BS*LC*] > AQ || **4** τον $2^0$ > S**C* | εν τη ημ. εκ.] > B†, in *O* sub ÷ || **5** ο θεος: cf. 3 || **7** πεποιθοτως *L*: trahit ανεπ. πεποιθοτως ad sequentia (= 𝔐) || **8** λιβανου $1^0$] δρυμου S || **9** αρχοντες S*† | παντας BA*C*] -τες SQ nec non *L*, qui οἱ ανεστησαν pro οἱ εγειραντες praebet || **11** δε SA*C*] > BQ*L* | σου ευφροσ. Q*L*] tr. BSA*C*